ɔoteſtati ſubdita ſunt, ſervis, & iis, qui ad nuptias ɾocati ſunt, quorum hi ingredi noluerunt, illi vero ngredi negligentes *abierunt, alius in villam ſuam, alius vero ad negotiationem ſuam, alii vero tenuerunt ſervos ejus, & contumeliis affectos occiderunt.* Præterea ex iis eſt, ıuæ regis imperio parent, ipſe regis exercitus, quiue ex viis congregati ſunt, mali ac probi, donec iſcumbentibus completæ ſint nuptiæ; quique inter iſcumbentes veſtem nuptialem non habet, ac miniri item, quibus juſſum eſt, ut manibus ligent eum ac edibus, qui veſtem nuptialem non habet, & in teэbras exteriores mittant. Scribi quidem poterat: *'mile factum eſt regnum cælorum regi*, absque additaento hocce, *homini;* ſed quoniam illud, *homini*, adctum eſt, id quoque neceſſario venit explicandum, ıod ita, meo quidem judicio, expoſitum eſt: quiım, a quo jam ante conſcriptus eſt liber legum ſanarum allegorias complectens, cum voces, quibus ımanæ conditionis particeps declaratur Deus, expliıret, atque eas item, quibus ipſius adſtruitur diviitas, homini ſimilem dici Deum humanæ naturæ cuım gerentem oſtendere volens, uno hoc loco uſus ſt: *Portavit te Dominus Deus tuus, ut ſolet homo geſtare ırvulum filium ſuum;* ut autem homini Deum ſimilem on eſſe patefaceret, unum hunc protulit: *Non eſt Deus quaſi homo, ut ſuſpendatur.*

18. Nobis autem maxima exemplorum copia ex vangeliis ſuppetit, in quibus juxta parabolas quasım homini aſſimilatus eſt. Ad earum ergo paraborum defenſionem, quæ verbo tenus Deum Chriſti atrem humanæ conditionis affectibus obnoxium eſſe atuunt, iis utemur, quæ Deum hominem appellant, : hæreticos, qui, quod conſimiles veteris teſtamenti ɔcos non animadverterint, in Dei legis ac prophetaım, & mundi Conditoris offenſionem incurrunt, ita ɔmpellabimus; ſi juxta evangelii parabolas homini

παραβολας ὁ Θεος, δια τι ἀκολȣθως ταυταις ταις παραβολαις ȣ̓ παραδεχεϑε παραβολην εἰναι την ὀργην, τον θυμον, και την μεταμελειαν, και την ἀποϛροφην τȣ προσωπȣ, και την καθισιν, και την ϛασιν, και τον περιπατον τȣ Θεȣ; τον γαρ ἀναγεγραμμενον ἐν ταις προφητειαις ὑπνον αὐτȣ ἠτοι ȣ̓ παρετηρησαν, ἢ ὁμολογησȣσιν εἰναι παραβολην. και ἐτι προς ἐκεινȣς ἐρȣμεν, ὁτι εἰ μη βȣλεϑε ἀκολȣθως τῳ ἐν παραβολῃ ἀνθρωπῳ λεγεϑαι τον Θεον, ἐν παραβολῃ ἀκȣειν των ἀνθρωποπαθως περι αὐτȣ ἀπαγγελλȣσων γραφων, παραϛησατε πως ἀνθρωπος ὁ των ὁλων κατα το εὐαγγελιον λεγεται Θεος ȣ̓δεν ἀνθρωπινον, ὡς ὑμεις ὑπολαμβανετε, λεγομενος ἐχειν ἐν ἑαυτῳ. ἐκ περιȣσιας δε ἐλεγξομεν αὐτȣς μηδε τα της καινης διαθηκης γραμματα ἐξητακοτας, ἐν οἱς κατα την ἐνταυτα παραβολην ὁ ποιων γαμȣς τῳ υἱῳ αὐτȣ βασιλευς ἀνθρωπος ὠργιϑη ἐπι τοις μη θελησασι κατα την κλησιν αὐτȣ ἐλθειν εἰς τȣς γαμȣς, και τοις ἀμελησασι μεν τȣ δειπνησαι εἰς τȣς γαμȣς, ἀπεληλυθοσι δε εἰς τον ἰδιον ἀγρον, ἢ ἐπι την ἐμποριαν· ὠργιϑη δε και ἐπι τοις κρατησασι τȣς δȣλȣς αὐτȣ, και ὑβρισασι, και ἀποκτεινασι. λεγετωσαν γαρ ἡμιν ποτερον ὁ ὀργιϑεις ȣ̓τος, ἀτε ποιων γαμȣς τῳ υἱῳ αὐτȣ, ὁ πατηρ ἐϛι τȣ Χριϛȣ, ἢ ἀλλος τις παρα τον, ὁσον ἐπι τῃ παραβολῃ, ὀργιϑεντα, πατηρ ἐϛιν αὐτȣ· ἑκατερως δε ϛενοχωρηθησονται, εἰτ᾽ ἐκ τȣ μη θελειν τον ὀργιϑεντα, ποιȣντα γαμȣς τῳ υἱῳ πατερα εἰναι Χριϛȣ δια την ὀργην· εἰτ᾽ ἐκ τȣ ἀναγκαζεϑαι, δια τȣς γαμȣς και τον υἱον, παραδεχεϑαι ὁτι αὐτος εἰη ὁ πατηρ Χριϛȣ, και ὁτι ὀργιζεται. ἐαν δε διηγησιν τῳ ὀργιζεϑαι πειραθωσι φερειν, φησομεν προς αὐτȣς ὁτι, ὠ ȣ̓τοι, τις ἡ ἀποκληρωσις, μη φευγειν μεν τον ἐν τῳ εὐαγγελιῳ ποιȣντα γαμȣς τῳ υἱῳ αὐτȣ δια την ὀργην, και ἀλλον ζητειν· ἐν δε τῳ νομῳ και τοις προφηταις δια το αὐτο της ὀργης ὀνομα, και τα παραπλησια αὐτῃ ζητειν ἀναπλαττειν ἑτερον παρα τον τȣ νομȣ και προφητων Θεον;

comparatur Deus, quare consequenter his parabolis, parabolam quoque esse iram, & furorem, & pœnitentiam, & aversionem vultus, & sessionem, & stationem, & ambulationem Dei non vultis? Ipsius enim somnum, cujus apud prophetas mentio fit, vel non observarunt, vel parabolam esse fatebuntur. Iis præterea dicemus; si, quemadmodum Deus per modum parabolæ homo appellatur, scripturas quoque humanorum affectuum participem Deum exhibentes, tanquam parabolas accipere non vultis; quomodo rerum omnium Deus, qui nihil humani vestra sententia in se habere dicitur, juxta evangelium homo appellatur, aperite. Nec eo contenti, novi quoque testamenti scripturas minime perscrutatos illos fuisse probabimus, in quibus, juxta hanc parabolam, homo rex, qui nuptias filio suo faciebat, adversus eos iratus est, qui ab ipso accersiti ad nuptias venire noluerunt, & qui nuptiali prandio interesse neglexerunt, abierunt autem alius in villam suam, alius vero ad negotiationem suam; & iis item succensuit, qui servos suos comprehenderunt, & contumeliis affecerunt, ac occiderunt. Dicant enim nobis, utrum iratus ille, utpote qui nuptias filio suo faciat, Christi Pater sit; an præter eum, qui, quatenus edisserit parabola, iratus est, alius sit ipsius Pater; utrobique sane occurrent angustiæ, sive iratum illum nuptias filio facientem, Patrem esse Christi nolint propter iram; sive propter nuptias & filium Patrem ipsum esse Christi, & irasci cogantur fateri. Quod si iræ huic explicationem aliquam inferre conentur; dicemus illis: Heus vos, quænam hæc partitio est, eum, qui in evangelio nuptias filio suo facit, propter iram minime refugere, nec alium quærere; in lege autem & prophetis propter idem iræ nomen, vel alia huic consimilia, alium a legis prophetarumque Deo, Deum fingere conari?

Ο'σον ȣ̓ν ἀνθρωποι ἐσμεν, και ȣ̓ συμφερει ἡμιν τον πλȣτον της χρηςοτητος τȣ θεȣ, και το πολυ·πληθος της χρηςοτητος αὐτȣ κεκρυμμενης ὑπ' αὐτη, ἱνα μη βλαβωμεν, θεωρειν, ἀναγκαιως ὡμοιωθη ἡ βασιλεια των ȣ̓ρανων ἀνθρωπῳ βασιλει, ἱνα ἀνθρωποις λαλησῃ ὡς ἀνθρωπος, και ἀνθρωπȣς οἰκονομησῃ μη χωρȣντας οἰκονομηθηναι ὑπο τȣ θεȣ παντη μενοντος θεȣ, και ἐν τῳ λεγειν δια προφητων, και ἐν τῳ οἰκονομειν ἀνθρωπȣς. και τοτε παυσεται ὁμοιȣμενη ἡ βασιλεια των ȣ̓ρανων ἀνθρωπῳ, ὁταν παυσαμενȣ ζηλȣ, και ἐριδος, και των λοιπων παθων, και ἁμαρτηματων, και τȣ κατα ἀνθρωπον περιπατειν, ἀξιοι γενωμεθα ἀκȣσαι ἀπο τȣ θεȣ. ἐγω εἰπα, θεοι ἐςε, και υἱοι ὑψιςȣ παντες, ἡ τȣ χριςȣ αὐτȣ, μηκετι πραττοντες τοιαυτα ἐφ' οἱς λεγοιτ' ἀν· ὑμεις δε ὡς ἀνθρωποι ἀποθνησκετε. ἐγω δ' οἰμαι ὁτι ȣ̓ μονον το ἀνθρωπῳ βασιλει ὁμοιȣσθαι την βασιλειαν των ȣ̓ρανων παυσεται, ἀλλα και ἀλλα μυρια ὡν χρηζει ἁμαρτωλος ἀνθρωπος, οἱον γεγραπται ἐν τῳ Ωσηε· ἐγω δε εἰμι ὡς πανθηρ τῳ Εφραϊμ, και ὡς λεων ἐν τῳ οἰκῳ Ιȣδα· και ἐν ἀλλῳ τοπῳ, ἀπαντησομαι, φησιν, αὐτοις ὡς ἀρκτος ἀπορȣμενη. παυσεται ȣ̓ν ποτε των ὡς πανθηρ, και ὡς λεων, και ὡς ἀρκτος ἀπορȣμενη, ὁτε δια το τȣς ταδε πεποιηκοτας μηκετι χρηζειν τȣ ὡς πανθηρος, και τȣ ὡς λεοντος, και τȣ ὡς ἀρκτȣ, αὐτος ȣ̓κετι ἐχων τους τοιουτου ἑαυτου χρηζοντας, ἐμφανισει ἑαυτον καθως ἐςιν. ἐγω δε ȣ̓τως ἀκουω και του· ὁ θεος ἡμων πυρ καταναλισκον, ἐπειπερ ὁσον μεν ἐςι τα του καταναλισκεσθαι ἀ * * * ἐπι τοσουτον ὁ θεος ἡμων πυρ ἐςι καταναλισκων ἐκεινα· ἐπαν δε ἀναλωθῃ ὑπο τȣ καταναλισκοντος πυρος τα πεφυκοτα ὑπ' ἐκεινου ἀναλισκεσθαι, τοτε ȣ̓κετι μεν ἐςαι ὁ θεος ἡμων πυρ καταναλισκον, μονον δε ὡς εἰπεν Ιωαννης φως, λεγων· ὁ θεος φως ἐςι. τουτων δε κινηθεντων, προσχες εἰ δυνασαι το ἀπο του Ιωαννου καθολικης ἐπιςολης ȣ̓τως ἐχον· ἀγαπητοι

19. Quamdiu ergo homines ſumus, neque bonitatis ipſius divitias, neque ingentem abſconditæ ipſius bonitatis copiam inſpicere expedit, ne detrimentum aliquod capiamus; homini regi regnum cœlorum neceſſario comparatum eſt, ut homines tanquam homo alloquatur, & loquendo per prophetas, hominesque gubernando, regat ac proſpiciat hominibus, qui Dei, quamdiu Deus perfecte manet, gubernationis nequaquam capaces ſunt. Tunc autem hæc regnum inter cœlorum atque hominem ſimilitudo deſinet, quando deſita æmulatione, ac contentione, reliquiſque affectibus ac peccatis, neque amplius ſecundum hominem ambulantes, digni evaſerimus, qui a Deo audiamus: *Ego dixi: Dii eſtis, & filii Excelſi omnes*, vel ipſius Chriſti; nec ea amplius agentes, propter quæ dici poſſit: *Vos autem ſicut homines moriemini.* Ego vero non hanc ſolum regni cœlorum cum homine rege comparationem deſituram exiſtimo, ſed & alia ſexcenta, quibus homini peccatis dedito opus eſt; quale illud eſt, quod in Oſee ſcriptum extat: *Ego vero ſum quaſi panthera Ephraim, & quaſi leo domui Juda:* & alibi: *Occurram eis*, inquit, *quaſi urſa pabulo indigens.* Aliquando ergo pantheræ, & leoni, & urſæ pabulo egenti ſimilis eſſe deſinet, cum ſcilicet propterea, quod, qui talia egerant, eo pantheræ, vel leonis, vel urſæ ſimili non amplius indigeant, nullum amplius habens, qui ſe talem deſideret, talem ſe, qualis eſt, conſpicuum dabit. Ego vero ſic illud interpretor: *Dominus noſter ignis conſumens eſt;* quoniam quantum rerum eſt, quæ conſumi meritæ ſunt, tantum Deus noſter ignis eſt eas conſumens: poſtquam autem ab igne conſumente fuerint conſumta, quæ natura comparata ſunt, ut ab illo conſumantur; tunc ſane Deus noſter ignis conſumens amplius non erit, ſed lumen duntaxat, ut docet Joannes dicens: *Deus lux eſt.* His porro excuſſis, vide, an locum hunc ex Catholica Joannis epiſtola,

νυν τεκνα Θεου ἐσμεν, και ὄπω ἐμφανερωθη τι ἐσομεθα, οἰδαμεν ὁτι ἐαν φανερωθῃ, ὁμοιοι αὐτῳ ἐσομεθα, ὁτι ὀψομεθα αὐτον καθως ἐςι, τον τροπον τουτον ἐκλαβειν. νυν μεν γαρ κἀν ἀξιωθωμεν βλεπειν τον Θεον τῳ νῳ, και τῃ καρδιᾳ, ὐ βλεπομεν αὐτον καθως ἐςιν, ἀλλα καθως δια την ἡμετεραν οἰκονομιαν ἡμιν γινεται· ἐπι δε τελει των πραγματων, και της ἀποκαταςασεως παντων ὡν ἐλαλησε δια ςοματος των ἁγιων ἐξ αἰωνος προφητων αὐτυ, ὀψομεθα αὐτον, ὐχ ὡς νυν ὁ ὐκ ἐςιν, ἀλλ' ὡς πρεπει τοτε, ὁ ἐςιν.

Απαξ δε ταυτα εἰποντες εἰς το· ὡμοιωθη ἡ βασιλεια των ὐρανων ἀνθρωπῳ βασιλει, δυναμεθα και την αἰτιαν εὑρειν τυ συνεχως τον σωτηρα υἱον τυ ἀνθρωπυ, ἢ υἱον ἀνθρωπυ, ἑαυτον ὠνομακεναι, δηλυντα ὁτι ὡσπερ ὁ Θεος ἀνθρωπυς οἰκονομων, ὡς ἐν παραβολαις ἀνθρωπος λεγεται, ταχα δε πως και γινεται· ὑτως και ὁ σωτηρ προηγυμενως υἱος ὠν τυ Θευ, και Θεος ἐςι, και υἱος της ἀγαπης αὐτυ, και εἰκων τυ Θευ τυ ἀορατυ· ὐ μενει δε ἐν ᾧ ἐςι προηγυμενως, ἀλλα γινεται κατ' οἰκονομιαν τυ ἐν παραβολαις λεγομενυ ἀνθρωπυ, ὀντος δε Θευ, υἱος ἀνθρωπυ, κατα το μιμεισθαι ὁταν ἀνθρωπυς οἰκονομῃ τον Θεον, λεγομενον ἐν παραβολαις και γινομενον πως ἀνθρωπον. και ὐ χρη τινα ἀνθρωπον ζητειν, κἀκεινυ λεγειν υἱον εἰναι τον σωτηρα, ἀλλα ςαντα ἐπι της ἐννοιας τυ Θευ, και των λεγυσων παραβολων αὐτον εἰναι ἀνθρωπον, συνετως ἀκυειν αὐτυ λεγοντος ἑαυτον υἱον τυ ἀνθρωπυ. παρ' ἡμιν μεν ὐν τοις ἀνθρωποις ὡμοιωθη ἡ βασιλεια των ὐρανων βασιλει· παρα δε τοις κατα τας γραφας λεγομενοις Θεοις, ὡν ἐν συναγωγῃ ἐςη ὁ Θεος, ἐν μεσῳ Θευς διακρινων, ἡ βασιλεια των ὐρανων ἐςιν ὁμοια Θεῳ βασιλει.

Ζητη-

qui ſic habet: *Chariſſimi, nunc filii Dei ſumus, & nondum apparuit, quod erimus: ſcimus, quoniam, cum apparuerit, ſimiles ei erimus, quoniam videbimus eum, ſicuti eſt*, eodem modo interpretari poſſis. Nunc enim etiam, ſi digni habeamur, qui Deum mente & corde cernamus, eum tamen minime, ſicuti eſt, cernimus, ſed qualis regendi noſtri cauſa nobis efficitur; at in rerum fine, & omnium eorum reſtitutione, quæ *locutus eſt per os ſanctorum, qui a ſæculo ſunt, prophetarum ejus*, eum, non id, quod non eſt, quemadmodum nunc, videbimus, ſed ita, ut tunc par erit, id, quod revera eſt.

20. Poſtquam ea in hunc locum: *Simile factum eſt regnum cælorum homini regi*, ediſſeruimus, cauſam quoque reperire poſſumus, propter quam *υἱον του ἀνθρωπου* (Filium hominis) vel *υἱον ἀνθρωπου* (Filium hominis) ſe ipſe Soſpitator frequenter appellat, declarans, quod, quemadmodum hominum curam gerens Deus homo in parabolis dicitur, & quodammodo fortaſſe efficitur; ita & Servator, qui Filius Dei primo & præcipue eſt, Deus quoque eſt, & filius amoris ipſius, & *imago Dei inviſibilis;* ſed in eo, quod primo ipſe ac præcipue eſt, non permanet; at juxta illius adminiſtrationem, qui homo in parabolis dicitur, revera autem Deus eſt, Filius hominis efficitur, imitando Deum, cum homines regit, qui in parabolis appellatur homo, & aliquo modo efficitur. Nec ſane homo aliquis quærendus eſt, ipſiusque filius dicendus eſt Servator, ſed hac Dei notione ſtando, & parabolas, quæ ipſum hominem eſſe ſciſcunt, ſequendo prudenter & caute intelligendus eſt, cum Filium hominis ſe ipſe appellat. Apud nos ergo homines, *ſimile factum eſt regnum cælorum homini regi;* apud eos autem, qui dii in ſcripturis nuncupantur, quorum *in ſynagoga ſtetit Deus, deos in medio dijudicans*, regnum cælorum Deo regi ſimile eſt.

Ζητησεις δε ἐι ὡσπερ ἐν ἀνθρωποις τοις ὑποδεεςεροις, ὁσον ἐπι τη ἑαυτων φυσει, ἀγγελων, και θρονων, και κυριοτητων, και ἀρχων, και ἐξυσιων, ὡμοιωθη ἡ βασιλεια των ὐρανων ἀνθρωπῳ βασιλει, ἐν θρονοις ὁμοιωθη ἡ βασιλεια των ὐρανων θρονῳ βασιλει· κυριοτησι δε, κυριοτητι βασιλει· ἀρχαις δε, ἀρχῃ βασιλει· και ἐξυσιας, ἐξυσια βασιλει. φησει γαρ τις, τις ἡ ἀποκληρωσις τοις μεν ἐλαττοσιν ὡμοιωσθαι την βασιλειαν των ὐρανων ἀνθρωπῳ βασιλει· τοις δε κρειττοσιν ἀνθρωπων μη το ἀναλογον τυτῳ γινεσθαι; ὑτος δη ὁ ὁμοιωθεις ἀνθρωπῳ βασιλει ποιων γαμυς τῳ υἱῳ ἑαυτυ, ἀπεςειλε τυς δυλυς αὐτυ καλεσαι τυς κεκλημενυς εἰς τυς γαμυς· και ἐπιςησεις ἐι ὡσπερ ἀλλη ἡ γαμυμενη νυμφη παρα τυς καλυντας δυλυς, και τυς κεκλημενυς εἰς τυς γαμυς· ὑτως και ἐπι των μυςικων πραγματων, οἱ μεν τινες εἰσιν ἀναλαμβανομενοι εἰς το συςημα της νυμφης, ἀλλοι δε εἰς την ταξιν των ἀποςελλομενων δυλων καλεσαι τυς κεκλημενυς εἰς τυς γαμυς· και τριτοι παρα τυτυς, οἱ κεκλημενοι εἰς τυς γαμυς. θεος δ' ἀν εἰδειη τα διαφορα ταγματα των ψυχων, ἡ συν αὐταις και δυναμεων, και την αἰτιαν τυ τυσδε μεν ἐπι το συςημα της νυμφης ἀναλαμβανεσθαι· ἑτερυς δε ἐπι τυς δυλυς τυς διακονυμενυς τῃ κλησει· και ἀλλυς ἐπι τυς καλυμενυς. ἐν πνευματικοις δε γαμοις κοινωνιαν νοει λογυ νυμφιυ τοκον ἐν καλῳ ποιυμενυ, και νυμφης ψυχης γαμυμενης λογῳ, και μη φθειρομενης ὑπ' αὐτυ· ἀλλα και καθ' ἑκαςην την προς αὐτον κοινωνιαν ἀφθαρσιας μεταλαμβανυσης, και γεννωσης ὁποια γενοιτο ἐκ τοιυτων γαμων λογικα γεννηματα.

Και ἐν τοιυτοις γαμοις νοει το ἑτοιμαζομενον ἀριςον ἐκ ςερεας ἐν πνευματικοις λογικοις τροφης, και το ςερεον της τροφης τροπολογυμενον μοι νοει ἐν τοις ταυροις, ἀλλα

και

21. Quæres porro, an, quemadmodum inter homines, qui natura sua angelis, & thronis, & dominationibus, & principatibus, & potestatibus inferiores sunt, *simile factum est regnum cœlorum homini regi;* inter thronos simile itidem fiat regnum cœlorum throno regi; inter dominationes, dominationi regi; inter principatus, principatui regi; & inter potestates, potestati regi. Dicet enim aliquis: Quinam est iste delectus ac distinctio, ut inter inferiores homini regi regnum cœlorum simile factum sit; inter eos autem, qui præstant hominibus, idem quoque pro rata parte non contingat? Is certe, qui homini regi assimilatus est, nuptias filio suo faciens, *misit servos suos vocare invitatos ad nuptias:* at observabis, an, quemadmodum sponsa, quæ nubit, alia est a servis accersentibus, & ab iis, qui ad nuptias accersiti sunt; ita & in mysticis rebus aliqui ad novæ nuptæ collocationem assumuntur; alii autem in servorum ordinem, qui invitatos ad nuptias accersitum mittuntur; ac præter illos demum tertii, qui nempe ipsi ad nuptias invitati sunt: verum diversos animarum ordines, vel simul facultatum, quibus pollent, Deus noverit, nec non & caussas, propter quas ad sponsæ collocationem assumantur illi; alii inter eos, qui vocationi huicce ministrant; atque alii demum inter ipsos invitatos. In spiritalibus autem nuptiis animadverte consuetudinem Verbi sponsi, unde fœtus tempestive exoritur, cum anima sponsa, quæ Verbo nupsit, ab eoque vitiata ac corrupta non est, sed quotiescumque cum sponso consuescit, corruptionis immunitatem concipit, & qualem ex ejusmodi nuptiis nasci progeniem par est, rationales nempe fœtus enititur.

22. In ejusmodi item nuptiis ad paratum ex solido in spiritualibus rationalibus cibo prandium mentem adverte; cujus cibi solidiorem partem tropologice significatam intelligito per tauros; quod autem spiri-

tuale

και το πνευματικον της αὐτης θεωριας ἐν τοις θυομενοις σιτιςοις, και την ἀλλην δε ποικιλιαν την ἀναλογον τοις σωματικοις πνευματικην θεωριαν, τῳ· και τα παντα ἑτοιμα· ὁ γαρ βασιλευς ἐν δαψιλειᾳ βασιλικῃ ἀξιως της βασιλειας και τȣ πλȣτȣ ἑαυτȣ το τοιȣτον ποιει ἀριςον. δοκει δη μοι εὐγενων τινων ψυχων Ισραηλιτικων γεγονεναι ἡ προηγȣμενη κλησις εἰς τȣς γαμȣς. προηγȣμενως γαρ δια των καλȣντων τῳ της διδασκαλιας λογῳ βȣλεται ὁ θεος ἡκειν εἰς την μακαριαν ταυτην ἑςιαν τȣς προς συνεσιν εὐφυεςερȣς· και ἐςιν ἰδειν ὁτι ȣ̓ θελȣσιν οἱ τοιȣτοι ἐλθειν εἰς την κλησιν, και δια τȣτο ἀποςελλονται ἀλλοι δȣλοι προκαλȣμενοι τȣς μη θελοντας ἐλθειν, και ἐπαγγελλομενοι εἰ ἐλθοιεν οἱ κεκλημενοι μεταληψεσθαι αὐτȣς ἑτοιμασθεντος ὑπο τȣ βασιλεως ἀριςȣ, και ταυρων των ὡς ἐν καθαροις παντων των καθαρων μειζονων, και σεσιτευμενων τῃ ποικιλῃ και πολλῃ ἀποδειξει των εἰς ἑκαςον προβλημα νοηματων· οἱονει γαρ σιτιςον παρατιθησι λογον, ἡ διηρημενον, και ἐν τροπολογιᾳ λεγομενον τεθυμενον, ὁ την περι τȣ προκειμενȣ προβληματος ἀποδειξιν πολλην φερων, και πληρη, ὡς εἰ καθ' ὑποθεσιν ὀλιγα τινα και ἀσθενη φεροιτο εἰς την των προβληματων ἀποδειξιν κατα τα δοκȣντα κατασκευαζειν αὐτα, εἰεν ἀν τα τεθυμενα λεπτα τινα και ἰσχνα, και ἱν' ὁμοιως ὀνομασω ξηρα και ἀσαρκα, ἀλλ' ȣ̓ τοιαυτα τα ἑτοιμασθεντα ἐν τῳ τȣ βασιλεως ἀριςῳ, ἐν ᾡ φησιν· οἱ ταυροι μȣ και τα σιτιςα τεθυμενα, ȣ̓τω δε και τα παντα ἑτοιμα, ἱν' ἐν τῃ ςασει των παιδων, και τῃ λειτȣργιᾳ των πνευματικων οἰνοχοων, ἑκαςος των διακονων φερῃ εἰς το ἀριςον τεταγμενως ἐκεινα μαλιςα, ἐν οἱς ἐμαθε διακονεισθαι· και προτρεπομενος γε τȣς, ὡς εἰπον, κατα την παραβολην δευτερȣς, εἰπε το· ἰδȣ το ἀριςον ἡτοιμασα, οἱ ταυροι μȣ και τα σιτιςα τεθυμενα, και παντα ἑτοιμα· δευτε εἰς τȣς γαμȣς.

tuale in hac eadem contemplatione continetur, per mactata altilia; aliam autem varietatem, spiritualem nempe contemplationem, quæ pro rerum corporearum ratione fit, per hæc verba: *Et omnia parata:* tale siquidem prandium rex copiis omnibus, uti regem decet, affluens instruit, pro regia sua dignitate & opibus. Prior certe ad nuptias invitatio, ad Israeliticas quasdam generosiores animas mihi videtur pertinere. Qui enim perspicaciori pollent ingenio, eos a vocatoribus per disciplinæ verba ad beatum illud epulum præ reliquis accersitos vult Deus venire: hos autem videre licet vocationi minime obsequentes venire nolle, & alii propterea mittuntur servi eos accersituri, qui venire recusant, & promissuri futurum, ut, si invitati venerint, parati a rege prandii participes fiant, nec non & taurorum, qui inter munda mundis omnibus majores sunt, & vario ac multiplici argumento saginatarum super unaquaque quæstione cogitationum; nam quasi saginatum, vel dissectum, quique in tropologia mactatus dicitur, sermonem proponit, qui super proposita quæstione multiplex profert ac perfectum argumentum: quemadmodum si subleſta quædam & infirma probandis quæstionibus proferri argumenta fingamus, quibus eæ valide confirmari videantur, tenuia fa[illegible] sunt ac exilia, & ut convenienter hæc appellem, macilenta ac strigosa, quæ mactata [illegible]: at non ejusmodi sunt, quæ in regis prandio fuerunt parata, in quo inquit: *Tauri mei, & altilia occisa sunt, & omnia* itidem *parata*, ut stantibus pueris, & ministrantibus spiritualibus pincernis, ea potissimum ordine servato prandio inferat famulus unusquisque, quæ ministrare didicit. Secundos autem, ita ut dixi, juxta parabolam adhortans, id ait: *Ecce prandium meum paravi, tauri mei, & altilia occisa sunt, & omnia parata: venite ad nuptias.*

Αλλ' οἱ προηγȣμενως καλȣμενοι, ὡς πτωχοι και ἀποροι τον νυν, ἀμελησαντες ἀπηλθον, περιεποντες τα ἰδια, και εὐφραινομενοι μαλλον ἐπ' αὐτοις, ἠ οἱς ἐπηγγελλετο δια των ἀποςαλεντων δȣλων ὁ βασιλευς. και ὁρα ὁτι ὁ μεν τις αὐτων ἐχων ἰδιον ἀγρον ȣ̓κ ἠλθεν εἰς τȣς γαμȣς· ὁ δε ἐμποριαν κεκτηται, μιμεισθαι πως θελων τα λεγομενα ἐν τῃ περι τȣ ἐμπορȣ των μαργαριτων παραβολῃ, ζητȣντος τȣς καλȣς μαργαριτας, και εὑροντος ἑνα πολυτιμον, και ἀποδομενȣ τȣς πολλȣς, ἱνα ἀγορασῃ τον ἑνα. πλην ȣ̓κ αἰτιος ἡ ἐμπορια αὐτη, ἐφ' ἡν ἀπελθων ὁ κεκλημενος ȣ̓ μετελαβε του ἑτοιμασθεντος τῳ βασιλει ἀριςου, και των τεθυμενων ταυρων, και σιτιςων, και παντων των ἑτοιμων. ὁσοι μεν ȣ̓ν των διορατικων κληθεντες ȣ̓κ ἐρχονται εἰς την κλησιν, ȣ̓ μην και τους ἀποςαλεντας δουλους ἐπι το καλειν ὑβριζουσι και ἀναιρουσι, μετριωτεροι εἰσι των ταυτα τετολμηκοτων, και ἀναπαυονται ὁς μεν εἰς τον ἰδιον ἀγρον, ὁς δε ἐπι τῃ ἐμποριᾳ αὐτου. οἱ δε λοιποι παρα τουτους, ἰδωμεν τινες εἰσι· δοκει δη μοι ὁτι ἐκπεπτωκασιν ἠτοι ἐπι παρασκευην ἐριςικων και σοφιςικων λογων, ἐν οἱς κρατουντες των ἀποςελλομενων δουλων ȣ̓ παρεσκευασμενων προς το λυειν σοφισματα, ἠ κρατειν δοκουντες, ὑβριζουσι τους διακονουμενους τῃ κλησει. και ἐςι γε ἰδειν τους προσπεπονθοτας τῃ ἀσκησει των [θειων] λογων, και μετα της θειας σοφιας βουλομενους αὐτον πρεσβευειν, ὑβριζομενους ὑπο των διορατικων μεν, ȣ̓ βουλομενων δε πιςευειν τῃ ἀληθειᾳ· τινας δε αὐτους και ἀναιρουμενους ὑπ' ἐκεινων, οἱς ὁ βασιλευς ὀργισθηναι λεγεται, ἐπειδη φθασαι την καλουμενην ὀργην ἐπ' αὐτους. το δε ἐργον της ὀργης ἐςι πεμφθηναι το ςρατευμα του βασιλεως ἠτοι το πληθος της ȣ̓ρανιου ςρατιας, ἠ τους τεταγμενȣς ἐπι των κολασεων ἀγγελȣς. και ἀναιρουσι γε τους φονεις των διακονων του λογου, και πασαν την πολιν αὐτων ἐμπιπρησιν ὁ βασιλευς· οἱονει γαρ πολις και συςημα καθ' ἑκαςον ἐςι των

23. At qui priores invitati ſunt, quaſi mentis inopes, *neglexerunt*, *& abierunt*, rerum ſuarum ſatagentes, iisque magis delectati, quam quæ ſibi a rege per miſſos ſervos promiſſa fuerant. Nota autem, aliquem ex iis villam ſibi poſſidentem ad nuptias non iviſſe; hunc autem negotiationi deditum ea quodammodo imitari voluiſſe, quæ in parabola de margaritarum mercatore dicuntur, pulchras quærente margaritas, qui inventa pretioſa una, plures alias vendit, ut unam illam mercetur. Verum infauſta ea eſt negotiatio, ad quam abiens, qui invitatus eſt, parati a rege prandii, occiſorumque taurorum & altilium, paratorumque omnium particeps non fuit. Ex iis ergo, qui perſpicacitate pollent, quotquot invitati non obſequuntur, ſervos tamen ad vocandum miſſos contumelia non afficiunt, neque trucidant, moderatiores iis ſunt, qui talia deſignare fuerunt auſi, ac æquiores, & is quidem in agrum ſuum, ille vero ad negotiationem ſuam quieſcendi cauſa contendit. Reliqui vero præter iſtos, quinam ſint, videamus; hi mihi ſane ad contentioſos ſermones captioſosque ſtruendos ſeſe demiſiſſe videntur; in quibus miſſos ſervos, ad ſolvenda ſophiſmata minime paratos ac ſuperantes, vel ſuperare viſi vocationis miniſtros contumeliis afficiunt. Ac eos quidem, qui divinorum ſermonum tractationi addicti ſunt, & illos cum ſapientia divina prædicare volunt, a viris ingenii acumine præditis, veritati autem fidem accommodare nolentibus injuria affectos videre licet; nonnullos etiam ab iis interfectos, quibus rex ſuccenſere dicitur, poſtquam videlicet id, quod ira dicitur, in eos pervenerit. Iræ autem effectus ille eſt, regis exercitum mitti, cœleſtis nempe exercitus copias, vel præfectos ſuppliciis angelos: hi autem miniſtrorum Verbi interfectores de medio tollunt, univerſamque eorum civitatem rex concremat; nam quaſi civitatem quamdam & collectionem ſigillatim efficiunt

συγκεκροτημενων ἐν τῃ σοφιᾳ των ἀρχοντων τȣ αἰωνος τȣτȣ δογματων ἐμπιπρησιν ὁ βασιλευς και ἐξαφανιζει, ὡς ἐκ μοχθηρων οἰκοδομηματων συνεςηκυιαν· και ἐπαν ποτε κατανοησαις καθαιρεσιν εἰτε ψευδωνυμȣ γνωσεως, εἰτε ὁποιωνποτȣν λογων ἐπαγγελλομενων ἀληθειαν, και ἀνατροπην αὐτων γενναιαν, μη ὀκνει λεγειν το τοιȣτον γεγονεναι ὑπο ςρατιωτων τȣ θεȣ, ἐμπιπραντων τας των ἐχθρων της ἀληθειας πολεις. ἐνεπρηϑη μεντοι και ἡ πολις της Iȣδαϊκης διδασκαλιας μετα την Χριςȣ ἐπιδημιαν, ἧς ἐμπρηθεισης εἰπε τοις δȣλοις αὐτȣ ὁ βασιλευς ἀποςολοις Χριςȣ, ἢ αγγελοις θεȣ τεταγμενοις ἐπι της κλησεως των ἐθνων· ὁ μεν γαμος ἑτοιμος, οἱ δε κεκλημενοι ȣ̓κ ἦσαν ἀξιοι. πορευεσθε ȣ̓ν ἐπι τας διεξοδȣς των ὁδων, και ὁσȣς ἀν ἑυρητε καλεσατε εἰς τȣς γαμȣς. και ἐςιν ἰδειν ἀπο πασης ὁδȣ ἰδιωτικης, και ȣ̓κ ἰδιωτικων δογματων των κατα τα ἐθη των ἐθνων, και πολεων, και κωμων, και τοπων τȣς καλȣμενȣς εἰς τȣς γαμȣς ἀπο των προςαχθεντων τȣτο ποιειν. ἐξελθοντες δε οἱ δȣλοι, εἰτε ἀπο της Iȣδαιας, και Iερȣσαλημ, οἱ Χριςȣ ἀποςολοι, εἰτε ἀπο των ἐνδον ὁριων ἐν ᾡ ἦσαν οἱ μακαριοι ἀγγελοι, και ἐλθονδες εἰς τας ὁδȣς, και συνηγαγον και συναξȣσι παντας ȣ̔ς ἀν εὑρωσι πονηρȣς, ἱνα ἀποθεμενοι την πονηριαν, το ἀλλοτριον τȣ γαμȣ ἐνδυμα, και ἐνδυσαμενοι μετα των λεγομενων ἀγαθων το ἐνδυμα τȣ γαμȣ, πληρωσωσι την τȣ γαμȣ ἑςιαν ἑαυτων ἀνακειμενων.

Επαν ȣ̓ν πληϑῃ ὁ γαμος ἀνακειμενων, και προσαναπαυσαμενων τῃ πιςει και τῃ θεοσεβειᾳ, τοτε εἰσελευσεται ὁ βασιλευς ἐπιθεωρησαι και κριναι περι των ἀνακειμενων ἱνα τον μεν ȣ̓κ ἐχοντα ἐνδυμα γαμȣ ἐλεγξας κολασῃ· τοις δε λοιποις το ἡτοιμασμενον ἀριςον παραθῃ, και τα τεθυμενα σιτιςα μετα των ταυρων, και τα λοιπα παντα ὁσα ἡτοιμασεν. ἑνα δε οἰδε τον ȣ̓κ ἐνδιδυμενον ἐνδυμα γαμȣ, εἰς ἑν γενος ἢ εἰδος ἀναφερων τȣς την προ της πιςεως κακιαν τηρησαντας, και μη ἀποδυσαμενȣς αὐτην· και μεμφεται γε τῳ τοιȣτῳ, ὡς

κακως

congregatorum in ſapientia principum ſæculi hujus dogmata; quam velut malis conſtantem ædificiis ſuccendit rex ac delet; & ſi quando falſo nominatam ſcientiam, vel quosvis ſermones veritatem profitentes, peſſundatos ac valide confutatos videris, id a Dei exercitibus hoſtium veritatis urbes ſuccendentibus factum eſſe dicere, ne pigeat. Sane Judaicæ quoque doctrinæ civitas poſt Chriſti adventum concremata eſt, qua ſuccenſa ſervis ſuis, apoſtolis nempe Chriſti, vel angelis Dei vocationi gentium præfectis dixit rex: *Nuptiæ quidem paratæ ſunt, ſed qui invitati erant, non fuerunt digni. Ite ergo ad exitus viarum, & quoscumque inveneritis vocate ad nuptias*; & ex omni quidem publica ac plebeia via, necnon ex pervagatis dogmatibus gentium, & civitatum, & villarum, & locorum uſu receptis, invitatos ad nuptias homines videre eſt, ab iis, quibus id agendi negotium datum eſt. Egreſſi autem ſervi, Chriſti nimirum apoſtoli, ſive e Judæa, ſive Jeroſolyma, ſive ab interioribus finibus, intra quos erant beati angeli, poſtquam ad vias devenerunt, quoscumque invenerint homines nequam, & congregarunt, ac porro congregabunt, ut nequitia ſua nuptiis videlicet minime idonea veſte, depoſita, & veſte nuptiali cum iis induti, qui boni appellantur, nuptiale convivium ſe diſcumbentibus impleant.

24. Poſtquam ergo *impletæ fuerint nuptiæ diſcumbentium*, & conquieſcentium in fide ac pietate, tunc ingredietur rex, ut diſcumbentes videat, deque iis ſententiam ferat, ut, qui nuptialem veſtem non habet, correptum eum puniat; aliis vero, inſtructum prandium, & mactata altilia, cum tauris, reliquisque omnibus a ſe paratis, apponat. Unum autem veſte nuptiali non indutum vidit, ſub unico genere vel ſpecie univerſos comprehendens, qui nequitiam ſibi ante fidem adhæreſcentem retinuerunt, eamque

κακως ποιησαντι, κατα το τετολμηκεναι εἰσελθειν εἰς τυς τοιυτυς γαμυς, μη ἀναλαβοντι το τυ γαμυ ἐνδυμα, το ὑφασμα της ἀρετης, το λαμπρον ἱματιον, περι ὑ Σαλομων ἐν ἐκκλησιαςῃ ἐνετειλατο λεγων· ἐν παντι καιρῳ ἐςωσαν τα ἱματια μυ λευκα. φιμυται δε ὁ τολμησας εἰσελθειν χωρις ἐνδυματος γαμυ εἰς τον λαμπρον τυτον γαμον, και ὐ δυναται λεγειν, ὁςις ὡς ἀξιος κολασεως και κρισεως καταδικαζεται ὑπο τυ εἰποντος τοις διακονοις, ἀλλοις παρα τα ἀνω ςρατευματα, ἱνα δησαντες αὐτυ ποδας και χειρὰς, οἱς ὐκ εἰς δεον ἐχρησατο· ὑτε γαρ ἡν ἐδει πορειαν περιεπατησεν, ὑτε ἁς ἐχρην πραξεις ἐπετελεσεν· ἐκβαλωσιν αὐτον, ὑ μονον ἐξω της ἑςιας τυ γαμυ, ἀλλα και εἰς το ἐξωτερον σκοτος και παντη φωτος ἀμιγες· ἱνα διψησας φωτος μετα το γεγονεναι ἐν σκοτῳ τῳ ἐξωτερῳ, κλαυσῃ προς τον δυναμενον αὐτον εὐεργετησαι, κἀκειθεν ῥυσασθαι θεον, και τυς ὀδοντας βρυξῃ τυς δια την κακιαν φαγοντας τον ὀμφακα, και δια τυτο αἱμωδιασαντας· τυ γαρ φαγοντος τον ὀμφακα οἱ ὀδοντες αἱμωδιασυσιν. ὀμφακα δε κἀκει νομιςεον λεγεσθαι την κακιαν τυ μη ἀπεκτεινομενυ τοις ἐμπροσθεν, ἀλλα παραμειναντος αὐτῃ, δεον ὁδευσαι ἐπι το πεπειρον, και γλυκειαν ποιησαι την της ἀρετης ςαφυλην. ἐπιφερει δε ὁλῃ τῃ παραβολῃ δια μεν τυς πολλυς των κεκλημενων και μη γενομενων ἀξιων, το· πολλοι γαρ εἰσιν οἱ κλητοι· δια δε τυς εἰσελθοντας εἰς τον γαμον, και ἀνακληθεντας ἐκει ὡς ὀλιγυς, το· ὀλιγοι δε ἐκλεκτοι. και εἰ τις γε κατανοησαι τα πολυανθρωπα ἀθροισματα των, ἱνα ἁπλυςερον ὀνομασω, ἐκκλησιων, και ἐξετασαι ποσοι μεν οἱ βιυντες ἐπιεικεςερον, και μεταμορφυμενοι τῃ ἀνακαινωσει τυ νοος· ποσοι δε οἱ ῥαθυμοτερον πολιτευομενοι, και συσχηματιζομενοι τῳ αἰωνι τυτῳ, ἰδοι ἀν ὁτι χρησιμος ἐςιν ἡ λεγυσα τυ σωτηρος φωνη· πολλοι γαρ εἰσι κλητοι, ὀλιγοι δ' ἐκλεκτοι. και ἀλλαχυ λελεκται·

minime exuerunt; atque hunc quidem coarguit, ut qui male egerit ad ejusmodi nuptias ingredi ausus veste nuptiali non assumpta, virtutis nempe amictu, splendido vestimento, de quo Salomon in Ecclesiaste præcepit dicens: *Omni tempore sint vestimenta tua candida.* At obmutescit is, qui absque nuptiali veste in magnificas hasce nuptias ingredi ausus est neque quidquam proferre potest: qui ut pœna ac damnatione dignus ab eo condemnatur, qui ministris edicit, aliis nempe ab exercitibus de quibus supra dictum est, ut colligatum ipsum pedibus, manibusque, quibus recte & uti par erat, usus non est (nec enim ita, uti decuerat, ambulavit, neque ea, quæ decuerat, egit) non extra nuptiale duntaxat convivium, sed in tenebras etiam exteriores, & omni cassas lumine ejiciant; ut, postquam in exterioribus tenebris fuerit versatus, lumen sitiens, ad Deum, qui beneficium in eum conferre, atque inde illum liberare potest, fleat, infrendatque dentibus, qui propter nequitiam suam uvam acerbam comederunt, atque idcirco obstupuerunt: *Qui* enim *comedit uvam acerbam, obstupescent dentes ejus.* Per acerbam porro uvam ejus nequitiam designari credendum est, qui ad ulteriora non contendit, sed eodem permanet loco, cum ad maturitatem contendere deberet, & virtutis uvam dulcem efficere. Quod autem invitentur plerique, digni autem nequaquam fiant, toti parabolæ id subnectit: *Multi enim sint vocati*; at propter eos, qui ad nuptias ingressi, & pauci numero cum essent, discubuerunt, illud: *Pauci vero electi.* Quod si quis numerosos ecclesiarum, ut simplicioribus utar verbis, cœtus consideret, quotque piam ac rectam vitam ducant, & *reformati sint in novitate sensus*; quotque segniter vivant, *& conformentur huic sæculo*, tum demum utilitatem comperiet dicti hujus a Servatore prolati: *Multi enim sunt vocati, pauci vero electi.* Alibi

ται· πολλοι ζητησουσιν εἰσελθειν, και οὐκ ἰσχυσουσι, και· ἀγωνιζεσθε εἰσελθειν δια της στενης πυλης, ὁτι ὀλιγοι εὑρισκουσιν αὐτην.

Περι των ἐπερωτησαντων δια τον κηνσον.

Τοτε πορευθεντες οἱ φαρισαιοι συμβουλιον ἐλαβον κατ᾽ αὐτου, ὁπως αὐτον παγιδευσωσιν ἐν λογῳ, και τα ἑξης, ἑως του· και ἀφεντες αὐτον ἀπηλθον. το βουλημα της ἐκκειμενης λεξεως, κατα το ῥητον, τοιουτον εἶναι μοι φαινεται· Ιουδαιοι, ἁτε ἰδιαν ἐχοντες την κατα τον Μωσεως νομον διδασκαλιαν, και πολιτειαν ἀπεξενωμενην της των ἐθνων ἀγωγης, και δογμα ἐχοντες το λεγον· ἑως θανατου ἀγωνισαι περι της ἀληθειας, και κυριος πολεμησει περι σου, ἀνθισταντο τοις κρατουσιν αὐτων ἐθνεσιν ὑπερ του μη παραβηναι τον νομον του θεου, και πολλακις γε ἀρδην ἀπολεσθαι κεκινδυνευκασιν ἐπι Ρωμαιων βουλομενων ἀνδριαντα Καισαρος εἰσαγαγειν εἰς τον ναον του θεου, ἀντισαμενοι και κωλυοντες τους ἰσχυροτερους αὐτων γενομενους, ἐκ του ἡμαρτηκεναι Ιουδαιους. εὑρομεν δε ἐκ των κατα τον χρονον Τιβεριου Καισαρος ἱστοριων γραφας, ὡς ἀρα ἐπι Ποντιου Πιλατου ἐκινδυνευσεν ὁ λαος, του μεν Πιλατου βιαζομενου ἀνδριαντα Καισαρος ἀναθειναι ἐν τῳ ναῳ, των δε και παρα δυναμιν κωλυοντων. το δε ὁμοιον ἀναγεγραπται γεγονεναι και κατα τους χρονους Γαϊου Καισαρος. και στοχαζομεθα ὁτι ὁσον μεν ἐπεσκοπειτο ὁ λαος, και τον λεγομενον κατα τους προφητας φραγμον περιτετειχιστο ὁ ἀμπελων του κυριου, οἰκος Ισραηλ, και το ἠγαπημενον νεοφυτον αὐτου ἀνθρωπος Ιουδα, οὐδεν τηλικουτον ἐγενετο. το παραδοξοτατον δε, αὐτος πρωτος ἐτολμησε μιαναι τον ναον του θεου ὁ Πιλατος, ᾧ παρεδωκαν τον Ιησουν. και κατα τον χρονον οὖν του σωτηρος ἡνικα φορον ἐπεταχθησαν δουναι Ιουδαιοι Ρωμαιοις, σκεψις και βουλη ἦν ἐν Ιουδαιοις περι του ποτερον καθηκει τους ἀνακειμενους τῳ θεῳ, και μεριδα ὀντας αὐτου διδοναι φορον τοις ἀρχουσιν ἢ ὑπερ ἐλευθεριας

πολε-

vero dictum est: *Multi quærent intrare, & non poterunt*; &: *Contendite intrare per angustam portam, quia pauci sunt qui inveniunt eam.*

De iis qui de censu interrogaverunt.

25. *Tunc abeuntes Pharisæi consilium inierunt adversus eum, ut caperent eum in sermone*, & reliqua usque ad id: *Et relicto eo abierunt.* Loci hujus, juxta ipsius contextus verba, hæc mihi videtur esse sententia. Judæi, utpote peculiarem, secundum Mosis legem, doctrinam, & diversam a gentium instituto vitæ rationem tuentes, illudque dogma observantes: *Usque ad mortem certa pro veritate, & Deus pugnabit pro te*, ne legem Dei violarent, victricibus sui gentibus adversabantur; & sæpe in præsentissimum vitæ discrimen adducti sunt, cum Romanis, qui propter Judæorum peccata superiores ipsis evaserant, Cæsaris statuam templo Dei inferre volentibus palam obsisterent. Ac sub Pontio quidem Pilato valde periclitatum esse populum ex conscriptis Tiberii Cæsaris tempore historiis discimus, cum statuam Cæsaris in templo consecrare omni ope contenderet Pilatus, hi autem supra vires etiam suas reluctarentur. Idem quoque Caii Cæsaris temporibus contigisse scriptis traditum est. Suspicamur autem nihil factum ejusmodi, quamdiu populo provisum est, atque dicta a prophetis sepe vallata erat *vinea Domini, domus Israel, & vir Juda germen ejus delectabile.* Quod autem omnem superat fidem, primus ipse templum Dei violare ausus est Pilatus, cui Jesum tradiderunt. Sospitatoris itaque temporibus, cum tributum Romanis pendere jussi sunt Judæi, de eo inter Judæos disputatum, deliberatumque est, utrum consecratam Deo gentem, quæ ipsius esset portio, tributum principibus solvere consentaneum sit, an pro libertate certare, si vitam pro arbi-

πολεμειν, ει μη συγχωροιντο ζην ἁ βουλονται, και μη διδοναι φορον. και ἱϛορηται ὁτι Ιουδας μεν ὁ Γαλιλαιος, ου μεμνηται και Λουκας ἐν ταις των ἀποϛολων πραξεσιν, ἀποϛησας πολυ πληθος Ιουδαιων, ἐδιδασκε μη δειν διδοναι Καισαρι φορον, μηδε κυριον ἀναγορευειν τον Καισαρα· ὁ δε κατα τον καιρον αὐτου τετραρχης πειθειν ἐβουλετο τον λαον εἰκειν τῃ παρουσῃ καταϛασει, και μη αὐθαιρετον αἱρεισθαι προς ἰσχυροτερους πολεμον, διδοναι δε τους φορους. και ἡ προκειμενη δε του εὐαγγελιου λεξις ου σαφως μεν ἐμφαινει τα τοιαυτα· τῳ δε δυναμενῳ βεβασανισμενως ὁρᾳν το ἐκκειμενον ῥητον, παριϛησι ταυτα ουτως ἐχειν· χωραν γαρ ουκ εἰχον φαρισαιοι βουλομενοι παγιδευσαι ἐν λογῳ τον Ιησουν, ἀποϛειλαντες ἑαυτων τους μαθητας μετα των Ηρωδιανων πυθεσθαι του Ιησου, ποτερον ἐξεϛι δουναι κηνσον Καισαρι, ἠ ου· ει ὁμολογουμενον ἠν ὁτι ου διδοναι, και ει συμπεφωνημενον ἠν ὁτι διδοναι.

Και ὁρα ει μη δηλουται τα της ἐκκειμενης ἱϛοριας ἐκ του τους βουλομενους παγιδευσαι ἐν λογῳ τον Ιησουν φαρισαιους, μη μονους ἀπεϛαλκεναι τους μαθητας ἑαυτων πευσομενους περι του κηνσου, ἀλλα μετα των Ηρωδιανων· εἰκος γαρ ὁτι ἐν τῳ λαῳ τοτε οἱ μεν διδασκοντες τελειν τον φορον Καισαρι ἐκαλουντο Ηρωδιανοι ὑπο των μη θελοντων τουτο γινεσθαι· οἱ δε φαντασιᾳ ἐλευθεριας κωλυοντες διδοναι τον φορον τῳ Καισαρι, ἐδοκουν εἰναι οἱ ἀκριβουντες τα Ιουδαιων μαθηματα φαρισαιοι· ει δε μη βουλεται τις ταυθ' ουτως ἐχειν, σωσατω πως βουλομενοι αὐτον παγιδευσαι ἐν λογῳ ἀποϛελλουσι τους ἑαυτων μαθητας οἱ φαρισαιοι, ἀποϛελλουσι δε και τους Ηρωδιανους πευσομενους περι του φορου· ποια γαρ παγις ἠν ἐν τῳ ἀποκρινασθαι τον Ιησουν, εἰτε βουλεται κηνσον διδοσθαι Καισαρι, εἰτε μη, ει μη, ὡς ἀποδεδωκαμεν, κωλυοντος μεν αὐτου διδοναι κηνσον Καισαρι, ἐμελλον Ηρωδια-

trio ducere non liceat, & tributum minime pendere. Fertur autem docuisse Judas Galilæus, cujus in apostolorum Actis mentionem facit Lucas, ad defectionem impulsa ingenti Judæorum multitudine, Cæsari nequaquam pensitandum esse vectigal, neque Dominum hunc appellandum. At qui tunc præerat Tetrarcha populo persuadere conabatur, præsenti rerum statui sese ut accommodaret, nec voluntarium contra potentiores bellum susciperet, & vectigalia solveret. Ac talia quidem præsenti hocce evangelii loco non aperte declarantur; at qui proposita contextus verba accurate explorare valuerit, hæc ita se habere facile inde comperiet. Cum enim Jesum in sermone illaqueare vellent Pharisæi, missis ad eum discipulis suis cum Herodianis, ut ab eo sciscitarentur, liceretne censum dare Cæsari, annon, illaqueandi ejus locum minime habuissent, si dandum eum esse in confesso fuisset, vel si dandum non esse omnes consensissent.

26. At vide, annon vel ex eo historiæ hujusce veritas elucescat, quod cum Jesum in sermone illaqueare vellent Pharisæi, non discipulos duntaxat suos de censu quæsitum miserint, sed cum Herodianis. Veri quippe simile est, qui tributum Cæsari populo pendi vellent, Herodianos ab iis fuisse appellatos, qui id nequaquam faciendum esse statuebant. Qui autem libertatis specie ducti, quominus vectigal Cæsari pensitaretur, impediebant, ii fuisse videntur Pharisæi Judæorum disciplinas accuratius rimantes ac tuentes. Quod si quis hæc nequaquam ita se habere censet, id explicet ac conciliet, curnam illaqueare eum in sermone volentes, suos discipulos, necnon & Herodianos, de censu quæsituros mittant Pharisæi. Sive enim dandum esse tributum Cæsari sanxisset Servator, sive non, cujusmodi is fuisset laqueus responsioni ejus prætensus; nisi, ita ut diximus, impediente

... παραδιδοναι αὐτον Ρωμαιοις, ὡς ἀποςασιαν ... ἐπιτρεποντος δε, οἱ φαρισαιοι ἐμελλον κα... τε Ιησε, ὡς βλεποντος εἰς προσωπον ἀνθρω... μαλλον, ἠπερ διδασκοντος ἐν ἀληθειᾳ την ὁδον θεε; ...ανιστον δε παρα σαυτῳ, ὁτι οἱ των φαρισαιων μα...νται λεγοντες· διδασκαλε, οἰδαμεν ὁτι ἀληθης εἰ, και την ὁδον τε Θεε ἐν ἀληθειᾳ διδασκεις, και ἐ μελει σοι περι ἐδενος· ἐ γαρ βλεπεις εἰς προσωπον ἀνθρωπε· οἱοι προκαλενται αὐτον δια τε ἐπαινε ἐπι το μη λαβειν προσωπον των Ηρωδιανων, και των οἱ ἐφρονεν τα Καισαρος, ἱνα ἀποφηναμενος κατα το βελημα των φαρισαιων περι τε μη δειν Καισαρι διδοναι φορον, ὑπ᾽ αὐτων παραδοθη τοις Ηρωδιανοις. ὁρα δε και το· γνες δε ὁ Ιησες την πανεργιαν αὐτων, εἰπε, τι με πειραζετε ὑποκριται; ἐκεν ᾐδει πειραζομενος ὑπο των φαρισαιων μετα πανεργιας αὐτῳ προσερχομενων, ἱν᾽ ὁτιποτ᾽ ἀν ἀποκρινηται, ἐκ της ἀποκρισεως ἐπιβελευσωσιν αὐτῳ. ταυτα μεν ἐν ἐκ τε προκειμενε εὐαγγελιε λελεχθω εἰς τον τοπον, ὡς προς την λεξιν, οἱς συνᾳδει και τα τε Μαρκε, και τε Λεκα ῥητα περι των ὁμοιων, ὡς δυνατον σοι παραθεμενῳ τα εὐαγγελια, και συνεξεταζοντι αὐτα ἀλληλοις ἰδειν· ἐκ ἀλλος γαρ νες ἐςι παρα τετον εἰρημενος τῳ Ματθαιῳ περι των κατα τον τοπον, και παραπλησιως Ματθαιῳ παρα τῳ Μαρκῳ. ἁμα δε και διδασκομεθα ἀπο τε σωτηρος ἡμων μη τοις ὑπο των πολλων λεγομενοις, και δια τετο ἐνδοξοις φαινομενοις, προφασει της εἰς Θεον εὐσεβειας προσεχειν, ἀλλα ὑπο της ἐξετασεως, και της ἀκολεθιας τε λογε παριςαμενοις· προσχες γαρ ὁτι ζητεμενε τε, εἰ δει διδοναι Καισαρι κηνσον, ἠ μη, ἐχ ἁπλως ἀπεφηνατο το δοκεν ἑαυτῳ, ἀλλα εἰπων· ἐπιδειξατε μοι το νομισμα τε κηνσε, ἐπυθετο τινος ἡ εἰκων και ἡ ἐπιγραφη, και εἰπεσιν ὁτι Καισαρος, ἀπεκρινατο ὁτι δει ἀποδιδοναι τῳ Καισαρι τα αὐτε αἰτεντι, και μη ἀποςερειν αὐτον των ἰδιων φαντασιᾳ θεοσεβειας. ἐδιπε δε τα μεν Καισαρος ἀποδιδοναι δει τῳ Καισαρι, ἐχι δε και τα τε Θεε τῳ Θεῳ·

και

eo, quominus census Cæsari daretur, eum quasi defectionis autorem, ac impulsorem Romanis traditurι fuissent Herodiani; permittente vero, accusaturi Jesum fuissent Pharisæi, quasi personam hominis potius respiceret, quam viam Dei in veritate doceret? Apud te autem id cogita, Pharisæorum discipulos dicentes: *Magister, scimus quia verax es, & viam Dei in veritate doces, & non est tibi cura de aliquo; non enim respicis personam hominum,* ejusmodi laude eum quasi dehortari, ne Herodianorum personam respiciat, eorumque, qui a Cæsaris partibus stabant, ut juxta Pharisæorum sententiam tributum Cæsari non esse solvendum affirmans, Herodianis ab ipsis traderetur. Quin & illud attende: *Cognita autem Jesus nequitia eorum, ait: Quid me tentatis hypocritæ?* Se ergo a Pharisæis callido ac vafro animo ad se accedentibus tentari sciebat, ut quidquid ipse respondisset, ex sua responsione insidias sibi instruerent. Hæc ergo in hunc præsentis evangelii locum ad litteram dicta sunto, quibus consonant, quæ a Marco & Luca super iisdem rebus allata sunt, quemadmodum ex evangeliorum inter se collatione ac comparatione existimare potes; nec aliam enim ac istam super hoc loco Matthæus profert sententiam, nec Marcus quoque itidem ac Matthæus. Simul autem ad ea, quæ jactantur a multis, propterea que honorifica videntur esse, minime sub pietatis in Deum specie attendere a Sospitatore nostro docemur, sed ad ea, quæ disquisitione & studio, necnon & rationis consequentia adstruuntur ac probantur. Observa enim quæstione hac proposita, an dandus esset Cæsari census, necne, opinionem suam simpliciter eum non protulisse, sed cum dixisset: *Ostendite mihi numisma census*, cujus esset imago ac superscriptio quæsivisse, & cum Cæsaris esse dicerent, Cæsari quæ sua forent poscenti reddenda esse, neque pietatis specie hunc iis esse fraudandum respondisse.

[illegible] τις ἀποδιδȣς και Καισαρι τα Καισαρος [illegible] τῳ Θεῳ τα τȣ Θεȣ.

[illegible] δε τις τα κατα τον τοπον ȣτως τροπολογη[illegible]. [illegible]καμεν ἐκ ψυχης και σωματος· ὑπερκεισθω [illegible] λεγειν ὁτι και ἐκ πνευματος· και ὀφειλομεν τινα [illegible] ὡσπερει φορον σωματων ἀρχοντι λεγομενῳ Και[illegible], τα ἀναγκαια τῳ σωματι, ἐχοντα την εἰκονα τȣ [illegible] σωματων ἀρχοντος σωματικην· ταυτα δε ἐςι τρο[illegible], και σκεπη, και ἀναγκαια διαναπαυσις, και ὑπνοι. [illegible] ἀλλα ὀφειλομεν, ἐπει ἡ ψυχη φυσει κατ' εἰκονα ἐςι Θεȣ, τῳ βασιλει αὐτης θεῳ, ἁπερ ἐςι συμφεροντα, και καταλληλα τῃ της ψυχης φυσει και ȣσιᾳ· ταυτα δε εἰσιν αἱ ἐπ' ἀρετην ἀγȣσαι ὁδοι, και αἱ κατ' ἀρετην πραξεις. οἱ ȣν διδασκομενοι τον νομον τȣ Θεȣ περι των τȣ σωματος πραγματων, και ὀφειλομενων αὐτῳ, ȣ τα αὐτα δοξασȣσιν· οἱ μεν γαρ το ἀναλογον ποιȣσι τοις συμβȣλευȣσι μη διδοναι κηνσον Καισαρι, ὁσῃ δυναμις νηςειαις και ἀγρυπνιαις κακȣντες το σωμα, και ἀποχῃ πασῃ τῃ δια το σωμα, και τας ἀναγκαιας αὐτȣ πραξεις· ἑτεροι δε παρα τȣτȣς εἰσιν, οἱ ἀτρανωτως μεν διαλαμβανȣσι περι των κατα τον τοπον· φανταζονται δε ὁτι και τῳ σωματι χρη διδοναι τας ὀφειλας· ἀλλ' ὁ σωτηρ ἡμων ὁ λογος τȣ Θεȣ τρανως χωριζων τας εὐλογȣς τῳ σωματι ὀφειλας ἀπο των ὀφειλων της ψυχης, φησιν· ἀποδοτε τα Καισαρος τῳ Καισαρι, και τα τȣ Θεȣ τῳ θεῳ· εἰκονα γαρ ἐχει Καισαρος και σωματικων πραγματων ὁ φορος, ὁν μονον και ȣδεν πλεον αὐτȣ ὀφειλομεν τῳ σωματι.

Οἶδα δε και ἀλλην εἰς τον τοπον τοιαυτην φερομενην διηγησιν. ὁ μεν ἀρχων τȣ αἰωνος τȣτȣ ἐν τροπολογιᾳ καλειται Καισαρ· ὁ δε των αἰωνων βασιλευς ἐν ȣδενι συμβολῳ τυγχανων, θεος πανταχȣ ὀνομαζεται. ἐπει

τοινυν

disse. Non autem, quæ Cæsaris sunt, Cæsari reddere licet, quæ Dei autem sunt, Deo reddere fas non est; nec quæ Cæsaris sunt Cæsari reddens quispiam, quæ Dei sunt Deo reddere prohibetur.

27. Hunc autem locum tropologice sic interpretari potest aliquis. Ex corpore & anima conflati sumus; quod autem spiritu etiam constemus, id impræsentia dicere supersedeamus. Corporum autem principi, qui Cæsar dicitur, quoddam veluti tributum pendere debemus, corpori videlicet necessaria, quæ corpoream corporum principis imaginem continent; ea autem sunt alimenta, & vestes, & necessaria quies, ac somnus. Quoniam autem anima ad imaginem Dei a natura comparata est, alia animæ naturæ ac substantiæ convenientia, ac congrua ipsius regi, Deo scilicet debemus; ea autem sunt ad virtutem ducentes viæ, & gesta virtuti consona. Legis ergo Dei doctores de rebus ad corpus pertinentibus ipsique debitis eadem non sentiunt. Qui enim corpus, quantum pote, jejuniis & vigiliis macerant, rerumque omnium abstinentia, quas corpus, & necessariæ ipsius functiones postulant, idem propemodum faciunt, ac qui tributi Cæsari non solvendi autores sunt. Alii vero sunt præterea, qui res hoc loco propositas obscure interpretantur; corpori autem pendendum esse debitum sibi fingunt; ac Sospitator noster, qui Verbum Dei est, congrua corpori debita ab animæ debitis distinguens ait: *Reddite, quæ sunt Cæsaris, Cæsari; & quæ sunt Dei, Deo*: imaginem quippe Cæsaris, corporearumque rerum præfert tributum, quod solum, neque quidquam amplius corpori debemus.

28. Aliam autem etiam pervulgatam loci hujus interpretationem teneo. Princeps sæculi hujus tropologice nuncupatur Cæsar; at rex sæculorum nullo occultus symbolo, Deus ubique appellatur. Quan-

doqui-

τοινυν ἐχομεν τινα τȣ ἀρχοντος τȣ αἰωνος τȣτȣ, τȣτεςι τα κατα κακιαν, και ȣ προτερον δυναμεθα ἀποδιδοναι τα τȣ Θεȣ τῳ Θεῳ, ἐαν μη ἀποδωμεν ἀποθεμενοι παντα τα της κακιας τῳ Καισαρι τα τȣ Καισαρος· δια τȣτο ὁ σωτηρ ἐπιδειχθεντος τȣ νομισματος, και της ἐν αὐτῳ εἰκονος φησιν· ἀποδοτε τα Καισαρος τῳ Καισαρι, και τα τȣ Θεȣ τῳ θεῳ. και τȣτο δε κατα τον τοπον σκοπησωμεν, ὁτι ἐαν ποτε πειραζομενοι ὑπο των ζητȣντων ἀφορμας, προτεινοντων προβληματα, ȣχ ἱνα μαθωσιν, ἀλλ' ἱνα ὁση δυναμις ἡμων κατηγορησωσιν, ἀκȣωμεν λογȣς πειραςικȣς ἡμων, ȣτε παντη σιωπαν ὀφειλομεν, ȣτε ὡς ἐτυχεν ἀποκριναϑαι, ἀλλα περιεσκεμμενως και μετα περισκεψεως, εἰς το ὁση δυναμις ἐκκοψαι τας ἀφορμας των θελοντων ἀφορμας, και διδασκειν ἀνεπιληπτως τα σωζοντα τȣς βȣλομενȣς ἐν τῳ ἀκȣειν σωζεϑαι· δυνανται δε οἱ μεν φαρισαιοι λαμβανεϑαι εἰς τȣς διδασκαλȣς των διαφορων Ιȣδαϊκων παραδοσεων· οἱ δε Ηρωδιανοι εἰς τον νομιζομενον παρα τοις πολλοις βασιλικον Ιȣδαιων των ȣτως ἀπλȣςερον λεγομενων λογων. ἀφ' ἑκατερων ȣν πυνθανονται τȣ σωτηρος τα περι τȣ κηνσȣ· ὁ δε αὐτοις ἀποκρινεται, ὡς ἀποδεδωκαμεν· πλην ἐπει ȣ μαθειν βȣλονται ἐκ τȣ ἐρωταν αὐτον, ἀλλα παγιδευσαι ἐν λογω, και πειραζειν αὐτον, δια τȣτο ακȣσαντες τα δοκȣντα αὐτῳ προς το πυσμα αὐτων, και θαυμασαντες ὁτι μη ἐδωκεν αὐτοις ἀφορμας τȣ αὐτῳ ἐπιβȣλευειν, ȣκ ἐμειναν μεν παρ' αὐτῳ, ὡς οἱ μαθηται· ȣ δε ἀπλως ἀπηλθον, ὡς περι ἀλλων γεγραπται, ἀφεντες δε αὐτον ἀπηλθον· και τοιȣτοι γε εἰσιν οἱ ἀφιεντες τον λογον, και ἀπιςȣντες αὐτῳ, και ἀπιοντες ἀπ' αὐτȣ μετα το ἀκȣσαι αὐτȣ· και ȣχ ἁμαρτησει λεγων περι των μετα το ἀκȣσαι ἀποςαντων και τȣ ἀκȣειν, ὁτι οἱ τοιȣτοι ἀφεντες τον Ιησȣν ἀπηλθον· ἡμεις δε ἐρȣμεν το της νυμφης. ἐκρατησα αὐτον, και ȣκ ἀφηκα αὐτον.

